www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ

ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΚΑΙ ΠΑΝΕΥΦΗΜΟΥ ΑΠΟΣΤΟΛΟΥ

# ΗΡΩΔΙΩΝΟΣ

ΕΠΙΣΚΟΠΟΥ ΝΕΩΝ ΠΑΤΡΩΝ - ΥΠΑΤΗΣ

ΜΑΡΤΥΡΗΣΑΝΤΟΣ ΕΝ ΥΠΑΤΗ

Ψαλλομένη τῇ 8ῃ Ἀπριλίου

ΕΠΟΙΗΘΗ ΕΝ ΑΓΙῼ ΟΡΕΙ
ΥΠΟ ΓΕΡΑΣΙΜΟΥ ΜΟΝΑΧΟΥ ΜΙΚΡΑΓΙΑΝΝΑΝΙΤΟΥ
ΥΜΝΟΓΡΑΦΟΥ ΤΗΣ ΜΕΓΑΛΗΣ ΤΟΥ ΧΡΙΣΤΟΥ ΕΚΚΛΗΣΙΑΣ

ΕΓΚΡΙΣΕΙ ΤΗΣ ΙΕΡΑΣ ΣΥΝΟΔΟΥ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

ΕΚΔΙΔΟΤΑΙ ΕΠΙΜΕΛΕΙᾼ
ΘΕΟΚΤΙΣΤΟΥ ΑΘΑΝ. ΛΑΪΝΑ

ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ «ΑΣΤΗΡ» ΑΛ. & Ε. ΠΑΠΑΔΗΜΗΤΡΙΟΥ
ΟΔΟΣ ΛΥΚΟΥΡΓΟΥ 10—ΑΘΗΝΑΙ—1980

www.tezaurliturgic.ro




Ὁ Ἅγιος Ἀπόστολος Ἡρωδίων (διὰ χειρὸς Π. Βαμπούλη, 1969)

www.tezaurliturgic.ro

# ΠΡΟΛΟΓΟΣ

«᾿Ασπάσασθε Ἡρῳδίωνα τὸν
συγγενῆ μου» ᾿Απ. Παῦλος (Ρωμ. 16,11).

Ἡ ἔκδοσις τῆς ἀκολουθίας τοῦ Ἁγίου Ἡρῳδίωνος, Εὐαγγελιστοῦ τῆς Φθιώτιδος καὶ πρώτου Ἐπισκόπου τῶν Νέων Πατρῶν - Ὑπάτης, ἔχει τὴν ἱστορίαν της. Μίαν ἱστορίαν συνδεδεμένην μὲ τὴν ζωὴν καὶ τὴν δρᾶσιν τοῦ ἀειμνήστου πατρός μου, Πρεσβυτέρου ᾿Αθανασίου ᾿Αποστ. Λαϊνᾶ, ὅστις ὑπηρέτησε τὴν Ἐκκλησίαν ἐπὶ μίαν ὁλόκληρον πεντηκονταετίαν - 1922 - 1973. Ἡ πρώτη ἀκολουθία, πρὸς τιμὴν τοῦ ᾿Αποστόλου, ἐξεδόθη ὑπ᾿ αὐτοῦ τὸ ἔτος 1929, ὅτε ὑπηρέτει ὡς ἐφημέριος εἰς τὸν Ἱερὸν Ναὸν «Ἅγιος Κωνσταντῖνος» Λουτρῶν Ὑπάτης. Ἦτο ἡ πρώτη προσπάθεια νὰ τιμηθῇ ὁ Ἅγιος Ἡρῳδίων δι᾿ ἰδιαιτέρας ἀσματικῆς ἀκολουθίας. Ἡ ἀκολουθία ἐκείνη δὲν ἦτο ἀνταξία τῆς προσφορᾶς τοῦ Ἁγίου, διὰ τοῦτο κατὰ τὰ τελευταῖα ἔτη τῆς ζωῆς του, ὁ πατήρ μου, ἐπεθύμει ν᾿ ἀναθεωρηθῇ αὕτη ἐν τῷ συνόλῳ καὶ ὡραϊσθῇ δι᾿ ὕμνων, τροπαρίων καὶ κανόνων ἀναλόγων πρὸς τὴν ἄθλησιν καὶ τὸ μαρτύριον τοῦ ᾿Αποστόλου. Μοῦ ἀνέθεσε νὰ ἐπικοινωνήσω μετὰ τοῦ π. Γερασίμου Μικραγιαννανίτου, δόκιμου Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας καὶ ζητήσω τὴν γνώμην του διὰ μίαν ἀναθεώρησιν τῆς ὑπαρχούσης ἀκολουθίας.

Ὁ π. Γεράσιμος Μικραγιαννανίτης ἀνέγνωσε τὴν ὑπάρχουσαν παλαιὰν ἀκολουθίαν, ἀλλ᾿ εὗρεν αὐτὴν ἀδόκιμον καὶ ἐποίησεν νέαν ἐξ ἀρχῆς. Ἐντὸς συντόμου χρονικοῦ διαστήματος ἦτο ἑτοίμη καὶ μοῦ ἐστάλη πρὸς δημοσίευσιν. Ἐν τῷ μεταξὺ ὁ ἀείμνηστος πατήρ μου ἐκοιμήθη ἐν Κυρίῳ, τὴν 4ην Ἰουλίου 1974. Δὲν ηὐτύχησε νὰ ἴδῃ, ἔστω καὶ χειρόγραφον, τὴν ἀκολουθίαν τοῦ Ἁγίου Ἡρῳδίωνος. Ἐν συνεχείᾳ ἦλθον εἰς ἐπικοινωνίαν μετὰ τοῦ Σεβασμιωτάτου Μητροπολίτου Φθιώτιδος κ. Δαμασκηνοῦ, ἵνα ὑποβληθῇ αὕτη ὑπ᾿ αὐτοῦ εἰς τὴν Ἱερὰν Σύνοδον τῆς Ἐκκλησίας τῆς Ἑλλάδος πρὸς ἔγκρισιν.

Ἡ ἀκολουθία τοῦ Ἁγίου Ἡρῳδίωνος, ποιηθεῖσα ἐκ νέου ὑπὸ τοῦ δοκίμου ἀσματογράφου τῆς ᾿Ανατολικῆς Ἐκκλησίας π. Γερασίμου Μικραγιαννανίτου, ἐγκρίσει καὶ εὐλογίᾳ τῆς Ἱερᾶς Συνόδου, παραδίδεται εἰς τοὺς εὐσεβεῖς χριστιανοὺς τῆς Φθιώτιδος πρὸς ψυχικὴν ὠφέλειαν αὐτῶν. Μὲ τὴν ἔκδοσιν αὐτὴν ἐκπληρῶ τὴν ἐπιθυμίαν τοῦ ἀειμνήστου Πατρός μου, Πρεσβυτέρου ᾿Αθανασίου ᾿Απ. Λαϊνᾶ, νὰ τιμηθῇ ὁ Εὐαγγελιστὴς τῆς Φ θ ι ώ τ ι δ ο ς, Ἅγιος Ἡρῳδίων, δι᾿ ἀνταξίας ἀκολουθίας.

Εὐχαριστίαι πολλαὶ εἰς τὸν φίλον ἁγιογράφον ἱερέα τῆς Ὑπάτης π. Δημήτριον Καραγιάννην, ὁ ὁποῖος ἐφιλοτέχνησε τὰ σχέδια ποὺ στολίζουν τὴν παροῦσαν ἀκουλουθίαν.

Ὑπάτη, 8η ᾿Απριλίου 1975
Θ. Α. ΛΑΙΝΑΣ

www.tezaurliturgic.ro

ΒΑΣΙΛΕΙΟΝ ΤΗΣ ΕΛΛΑΔΟΣ

# Η ΙΕΡΑ ΣΥΝΟΔΟΣ

ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

ΙΩΑΝΝΟΥ ΓΕΝΝΑΔΙΟΥ 14 (Τ.Τ. 140)

Μ.Σ.Ε. Θ. ΛΑΤΡΕΙΑΣ

ΑΡ. ΠΡΩΤ. Λ. 1012/4546 ΑΘΗΝΗΣΙ ΤΗ 14-10-74

ΔΙΕΚΠ. 1858 ΘΕΜΑ:

Πρός

Τόν Σεβ. Μητροπολίτην Φθιώτιδος

Κύριον Δαμασκηνόν

Εἰς Λαμίαν

Σεβασμιώτατε ἐν Χριστῷ ἀδελφέ,

Ἔχοντες ὑπ᾽ὄψιν τήν ὑποβληθεῖσαν ἡμῖν διά τοῦ ὑπ᾽ἀριθ. 1026/10.5.74 ὑμετέρου ἐγγράφου Ἱεράν Ἀκολουθίαν τοῦ Ἁγίου Ἡρωδίωνος ἐπισκόπου Νέων Πατρῶν, ποιηθεῖσαν ὑπό τοῦ Ὁσιωτ. Μοναχοῦ Γερασίμου Μικραγιαννανίτου, ὡς καί τήν σχετικήν εἰσήγησιν τοῦ Σεβ. Μητροπολίτου Κοζάνης κ. Διονυσίου, ὡς Προέδρου τῆς Μ.Σ.Ε.Θ.Λατρείας, Συνοδικῇ ἀποφάσει ἐγκρίνομεν ταύτην ὡς καλῶς ἔχουσαν καθ᾽ὅσον οὐδέν τό ἀπᾷδον πρός τε τά δόγματα καί τάς παραδόσεις τῆς καθ᾽ἡμᾶς Ἁγιωτάτης Ὀρθοδόξου Ἐκκλησίας περιέχεται ἐν αὐτῇ καί παρακαλοῦμεν ὅπως κατά τήν τάξιν, ὑποβάλητε ἡμῖν πέντε ἀντίτυπα τῆς ἐκδοθησομένης ἀνωτέρω Ἱερᾶς Ἀκολουθίας διά τό ἀρχεῖον τῆς Μ.Σ.Ε.Θ.Λατρείας.

Ἐπί τούτοις κατασπαζόμενοι τήν Ὑμετέραν Σεβασμιότητα ἐν Κυρίῳ, διατελοῦμεν μετ᾽ἀγάπης

[signature]

Ὁ ΑΡΧΙΓΡΑΜΜΑΤΕΥΣ

[signature]

ΙΕΡΑ ΣΥΝΟΔΟΣ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

Κοινοποίησις:

Μ.Σ.Ε.Θ.Λατρείας - Ἐνταῦθα

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΑΠΟΣΤΟΛΟΥ

ΚΑΙ ΠΑΤΡΟΣ ΗΜΩΝ

## ΗΡΩΔΙΩΝΟΣ

**Ἐπισκόπου Νέων Πατρῶν**

***Μαρτυρήσαντος ἐν Ὑπάτῃ***

**ΨΑΛΛΟΜΕΝΗ ΤΗ 8η ΑΠΡΙΛΙΟΥ**

ΕΚΔΟΤΗΣ

ΑΘΑΝΑΣΙΟΣ Α. ΛΑΪΝΑΣ

Ἐφημέριος τοῦ ἐν Λουτροῖς Ὑπάτης Ἱεροῦ Ναοῦ

ΑΓΙΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥ

«Πορευθέντες οὖν
μαθητεύσατε
πάντα τὰ ἔθνη,
εἶπεν ὁ Κύριος»

✝

**Πρὸς χρῆσιν καὶ ὠφέλειαν τῶν ὀρθοδόξων Χριστιανῶν.**

1929

www.tezaurliturgic.ro



## Ἀπριλίου η´

# Μνήμη τοῦ Ἁγίου ἐνδόξου Ἀποστόλου Ἡρῳδίωνος, ἑνὸς ἐκ τῶν Ἑβδομήκοντα, καὶ πρώτου Ἐπισκόπου Νέων Πατρῶν (Ὑπάτης).

Ἐν τῷ μικρῷ Ἑσπερινῷ.

Ἱστῶμεν στίχους δ´. καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια τοῦ Ἁγίου

Ἦχος α´. Πανεύφημοι Μάρτυρες.

Τὴν χάριν τοῦ Πνεύματος λαμπρῶς, τῇ ψυχῇ δεξάμενος, τῶν Ἀποστόλων ὁμότροπος, ὤφθης καὶ σύσκηνος, ὡς τοῦ θείου Παύλου, συγγενὴς καὶ μέτοχος, θεόφρον Ἡρῳδίων Ἀπόστολε· διὸ ἐκήρυξας, τοῦ Χριστοῦ τὸ Εὐαγγέλιον, δι᾿ οὗ κόσμῳ, δέδοται ἡ ἄφεσις.

Τῷ λόγῳ τῆς χάριτος σοφέ, τὰς ψυχὰς ἐφώτισας, καὶ τῷ Χριστῷ προσενήνοχας, θείῳ κηρύγματι, τοὺς ἐν Νέαις Πάτραις, ἐνοικοῦντας πρότερον, ἐκλάμψας ἐν αὐταῖς ὥσπερ ἥλιος, βίου λαμπρότητι, Ἡρῳδίων παμμακάριστε· διὰ τοῦτο, πόθῳ σε γεραίρομεν.

Πολλοὺς καθυπέστης πειρασμούς, καὶ πληγὰς καὶ μάστιγας, Χριστοῦ κηρύττων τὸ ὄνομα, ἐνθέῳ στόματι, καὶ τμηθεὶς τὴν κάραν, αἵματι κατήρδευσας, τῆς πίστεως τὸν σπόρον Ἀπόστολε· διὸ ἐξήνθησαν, εὐσεβείας ἄνθη εὔοσμα, ἐν Ὑπάτῃ, πόλει τῇ τιμώσῃ σε.

Ποιμένα καὶ πρόεδρον σεπτόν, Νέαι Πάτραι ἔσχον σε· πρῶτος ἐν ταύταις γὰρ Ἅγιε, Χριστὸν ἐκήρυξας, καὶ πρώτιστος τούτων, Ἱεράρχης πέφηνας, καὶ θεῖος Ἡρῳδίων διδάσκαλος· διὸ τὴν μνήμην σου, τὴν ἁγίαν ἑορτάζοντες, πρεσβευτὴν σε πρὸς Χριστὸν προβάλλομεν.

www.tezaurliturgic.ro



Δόξα. Ἦχος β'

Εὐαγγελίου τῆς χάριτος, μυσταγωγὸς θεοειδής, κλήσει ἁγίᾳ λελαμπρυσμένος, ὤφθης Ἀπόστολε· τὴν ἐν Χριστῷ γὰρ σωτηρίαν, λόγῳ καὶ ἔργῳ διατρανῶν, ἐξ ἀναξίων ἀξίους, Κυρίῳ προσενήνοχας, οἷς ἐπέστης ἐκφαίνων τὰ κρείττονα, Ἡρωδίων μακάριε· καὶ τὸν δρόμον τελέσας, ἐπαξίων ἐπάθλων ἔτυχες, παρὰ τοῦ Διδασκάλου Χριστοῦ, τοῦ πᾶσι παρέχοντος, διὰ σοῦ τὸ θεῖον ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου...

Ἀπόστιχα.

Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.

Παύλου ὢν συγγενής, τρισμάκαρ Ἡρωδίων, τούτου εἰκὼν ἐδείχθης καὶ ἅπασι κηρύττεις, Χριστοῦ τὴν ἐνανθρώπησιν.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ...

Χάριν ὁμολογεῖ, Νέων Πατρῶν ἡ πόλις, παμμάκαρ Ἡρωδίων· τῷ γὰρ κηρύγματί σου, τῆς πλάνης ἠλευθέρωται.

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ...

Ἤθλησας ἀνδρικῶς, ὑπὲρ τῆς ἀληθείας, καὶ τὸν ἐχθρὸν καθεῖλες, μαρτυρικοῖς ἀγῶσιν, Ἀπόστολε μακάριε.

Δόξα. Τριαδικόν.

Λόγον σε τοῦ Θεοῦ, σύνθρονον τῷ τεκόντι, καὶ Πνεύματι τῷ θείῳ, ὁ Ἡρωδίων κόσμῳ, Χριστὲ Σωτὴρ ἐκήρυξε.

Καὶ νῦν. Θεοτοκίον.

Λέλυται ἡ ἀρά, τῷ τόκῳ σου Παρθένε· τὸν γὰρ τὴν ἁμαρτίαν, νεκρώσαντα τεκοῦσα, ζωὴν τῷ κόσμῳ ἔβλυσας.

Νῦν ἀπολύεις, τὸ τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ ἀπόλυσις.

Ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ.

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέ-

www.tezaurliturgic.ro



κραξα ἱστῶμεν στίχους στ΄. ψάλλομεν τὰ ἑξῆς Προσόμοια τοῦ Ἀποστόλου.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Ὡς συγγενῆ σε τοῦ Παύλου καὶ ἀφομοίωμα, καὶ τοῦ Εὐαγγελίου, ἱερὸν ὑπηρέτην, καὶ στόμα εὐσεβείας περιφανές, Ἡρῳδίων Ἀπόστολε, ἡ Ἐκκλησία γεραίρει σε τοῦ Χριστοῦ, ἑορτάζουσα τὴν μνήμην σου.

Τῶν Ἑβδομήκοντα ἕνα Χριστός σε ἔδειξεν, Ἁγίων Ἀποστόλων, Μαθητὴς θεηγόρον, θεόφρον Ἡρῳδίων, ὡς ἀρετῶν, ἱερὸν ἐνδιαίτημα· ἔνθεν ἐκλάμπεις τῷ κόσμῳ ὡς ἀστραπή, ἀληθείας τοῖς διδάγμασι.

Νέων Πατρῶν σε ἡ πόλις πρῶτον πεπλούτηκε, ποιμένα θεογόρον, καὶ σοφὸν ὑποφήτην, θεόφρον Ἡρῳδίων τῆς πρὸς Χριστόν, μυστικῆς οἰκειώσεως· ὅθεν τελοῦσα τὴν μνήμην σου τὴν λαμπράν, καταφεύγει τῇ πρεσβείᾳ σου.

Τῆς εὐσεβείας τῷ λόγῳ πλάνης τὴν ἄκανθαν, ἐκ τῶν ψυχῶν ἐκτίλας, ὡς Ἀπόστολος θεῖος, καρδίας χερσωθείσας ὕλῃ παθῶν, ἐνεούργησας ἔνδοξε, καὶ καρποφόρους ἀνέδειξας τῷ Χριστῷ, ἀρετῶν φέρειν τοὺς στάχυας.

Τοὺς σπαραγμοὺς τῆς σαρκός σου στερρῶς ὑπήνεγκας, καὶ ρείθροις τῶν αἱμάτων, Νέων Πατρῶν τὴν χθόνα, ἡγίασας παμμάκαρ ὡς τοῦ Χριστοῦ, μιμητὴς καὶ Ἀπόστολος· διὸ ὡς μέγαν προστάτην σε καὶ θερμόν, Ἡρῳδίων μακαρίζομεν.

Ο τῆς Ὑπάτης προστάτης καὶ θεῖος ἔφορος, καὶ πρὸς Θεὸν μεσίτης, καὶ λαμπρὸς πολιοῦχος, ὁ μύστης τῶν ἀρρήτων καὶ τοῦ Χριστοῦ, θεηγόρος Ἀπόστολος, ἀνευφημείσθω ἀξίως νῦν παρ᾽ ἡμῶν, Ἡρῳδίων ὁ πανεύφημος.

Δόξα. Ἦχος πλ. β΄.

Σήμερον ἡ τοῦ Ἀποστόλου Ἡρῳδίωνος μνήμη, Ἀποστολικὴν χάριν ἐκλάμπουσα, τῇ Ἐκκλησίᾳ ἐπέφανε· τοῦ γὰρ φωτὸς τοῦ ἀληθινοῦ, ἐκφαίνει τὴν δόξαν, καὶ σκότος παθῶν λύει, καὶ πρὸς τὸ φῶς τῶν ἀρετῶν, ἰθύνει τοὺς βοῶντας· χαίροις ὁ τοῦ Παύλου συγγενής, καὶ τῶν τρόπων μιμητής, ὡς τῶν Ἑβδομήκοντα Μαθητῶν συνάριθμος· χαίροις ὁ τῷ λόγῳ τῆς χάριτος, τῆς ἐν Χριστῷ οἰκονομίας, τὸ μέγα μυστήριον

www.tezaurliturgic.ro



κηρύξας· χαίροις ὁ τῆς ἐν Νέαις Πάτραις Ἐκκλησίας ἱδρυτής, καὶ θεμέλιος ἄρρηκτος, καὶ ὑποφήτης ἐνθεώτατος, Ἀπόστολε καὶ Μάρτυς Χριστοῦ τοῦ Θεοῦ· ἣν φύλαττε ἀκλόνητον, ταῖς πρὸς Θεὸν πρεσβείαις σου.

Καὶ νῦν. Ὁ αὐτός.

Τίς μὴ μακαρίσει σε Παναγία Παρθένε, τὶς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρός, ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, Φῶς ἱλαρόν. Τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Καθολικῆς α'. Ἐπιστολῆς Πέτρου τὸ Ἀνάγνωσμα.

(Κεφ. α'. 3).

Ἀδελφοί, εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος ἀναγεννήσας ἡμᾶς εἰς ἐλπίδα ζῶσαν, δι' ἀναστάσεως Ἰησοῦ Χριστοῦ ἐκ νεκρῶν· εἰς κληρονομίαν ἄφθαρτον, καὶ ἀμίαντον, καὶ ἀμάραντον, τετηρημένην ἐν οὐρανοῖς εἰς ἡμᾶς, τοὺς ἐν δυνάμει Θεοῦ φρουρουμένους διὰ πίστεως, εἰς σωτηρίαν ἑτοίμην ἀποκαλυφθῆναι ἐν καιρῷ ἐσχάτῳ. Ἐν ᾧ ἀγαλλιᾶσθε, ὀλίγον ἄρτι (εἰ δέον ἐστὶ) λυπηθέντας ἐν ποικίλοις πειρασμοῖς· ἵνα τὸ δοκίμιον ὑμῶν, τῆς πίστεως, πολὺ τιμιώτερον χρυσίου τοῦ ἀπολλυμένου, διὰ πυρὸς δὲ δοκιμαζομένου, εὑρεθῇ εἰς ἔπαινον καὶ τιμὴν καὶ δόξαν, ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ. Ὃν οὐκ εἰδότες ἀγαπᾶτε, εἰς ὃν ἄρτι μὴ ὁρῶντες, πιστεύοντες δέ, ἀγαλλιᾶσθε χαρᾷ ἀνεκλαλήτῳ καὶ δεδοξασμένῃ, κομιζόμενοι τὸ τέλος τῆς πίστεως ὑμῶν, σωτηρίαν ψυχῶν.

Καθολικῆς α'. Ἐπιστολῆς Πέτρου τὸ Ἀνάγνωσμα.

(Κεφ. α'. 13).

Ἀγαπητοί, ἀναζωσάμενοι τὰς ὀσφύας τῆς διανοίας ὑμῶν, νήφοντες, τελείως ἐλπίσατε ἐπὶ τὴν φερομένην ὑμῖν χάριν ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ, ὡς τέκνα ὑπακοῆς, μὴ συσχηματιζόμενοι ταῖς πρότερον ἐν τῇ ἀγνοίᾳ ὑμῶν ἐπιθυμίαις· ἀλλά, κατὰ τὸν καλέσαντα ὑμᾶς Ἅγιον, καὶ αὐτοὶ Ἅγιοι ἐν πάσῃ ἀναστροφῇ γενήθητε. Διότι γέγραπται: Ἅ-

www.tezaurliturgic.ro



γιοι γίνεσθε, ὅτι ἐγὼ Ἅγιός εἰμι. Καὶ εἰ Πατέρα ἐπικαλεῖσθε τὸν ἀπροσωπολήπτως κρίνοντα κατὰ τὸ ἑκάστου ἔργον, ἐν φόβῳ τὸν τῆς παροικίας ὑμῶν χρόνον ἀνατράφητε, εἰδότες, ὅτι οὐ φθαρτοῖς, ἀργυρίῳ ἢ χρυσίῳ, ἐλυτρώθητε ἐκ τῆς ματαίας ὑμῶν ἀνατροφῆς πατροπαραδότου, ἀλλὰ τιμίῳ αἵματι, ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου, Χριστοῦ.

Καθολικῆς α΄. Ἐπιστολῆς Ἰωάννου τὸ Ἀνάγνωσμα.

(Κεφ. δ΄. 11).

Ἀγαπητοί, εἰ οὕτως ὁ Θεὸς ἠγάπησεν ἡμᾶς, καὶ ἡμεῖς ὀφείλομεν ἀλλήλους ἀγαπᾶν. Θεὸν οὐδεὶς πώποτε τεθέαται. Ἐὰν ἀγαπῶμεν ἀλλήλους, ὁ Θεὸς ἐν ἡμῖν μένει, καὶ ἡ ἀγάπη αὐτοῦ τετελειωμένη ἐστὶν ἐν ἡμῖν. Ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ μένομεν, καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ Πνεύματος αὐτοῦ δέδωκε ἡμῖν. Καὶ ἡμεῖς τεθεάμεθα καὶ μαρτυροῦμεν, ὅτι ὁ Πατὴρ ἀπέσταλκε τὸν Υἱὸν σωτῆρα τοῦ κόσμου. Ὃς ἂν ὁμολογήσῃ, ὅτι ὁ Ἰησοῦς ἐστιν τοῦ Θεοῦ, ὁ Θεὸς ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν τῷ Θεῷ. Καὶ ἡμεῖς ἐγνώκαμεν καὶ πεπιστεύκαμεν τὴν ἀγάπην, ἣν ἔχει ὁ Θεὸς ἐν ἡμῖν. Ὁ Θεὸς ἀγάπη ἐστι· καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ, ἐν Θεῷ μένει, καὶ ὁ Θεὸς ἐν αὐτῷ.

Εἰς τὴν Λιτήν, Ἰδιόμελα.

Ἦχος α΄.

Εὐφραίνου ἐν Κυρίῳ, ἡ ἐν Ὑπάτῃ Ἐκκλησία τοῦ Θεοῦ, Ἡρωδίωνος τὸν θεῖον, ποιμένα καὶ πρόβολον, ὡς τοῦ Χριστοῦ Ἀπόστολον σχοῦσα· ἀπαρχὴ γάρ σοι ἁγία, τῶν κρειττόνων γέγονε, καὶ τῆς πλάνης ἀπαλλαγή, καὶ τῆς ἐν Θεῷ υἱοθεσίας, ὁδηγὸς σωτήριος, καὶ μυσταγωγὸς θεόληπτος· καὶ μαρτυρικῷ τέλει σφραγίσας, τὸ τῆς πίστεως μυστήριον, ἀμέσως ἐντυγχάνει Κυρίῳ, πάσης βλάβης ῥύεσθαι, καὶ δεινῶν ἐπιφορῶν, τοὺς ἐκ πόθου αὐτὸν γεραίροντας.

Ἦχος β΄.

Τοῦ Παρακλήτου ἠμφιεσμένος τὴν χάριν, ὡς φῶς τοῖς πᾶσιν ἐξέλαμψας, Ἡρωδίων θεοφόρε Ἀπόστολε· καὶ τοῦ μὲν σκότους τὰ ὑψώματα, τῆς πλάνης τὰ φρυάγματα, τῷ φέγγει τῶν λόγων, καὶ τῇ τῶν ἔργων ἰσχύϊ, καταβαλὼν ἐθριάμβευσας· τοὺς ὑπ᾽αὐτῶν δὲ ἐζωγρημένους, τῆς ζοφερᾶς δουλείας ἀπαλλάξας, υἱοὺς φωτὸς ἀνέδειξας, προσαγαγὼν Χριστῷ σεσωσμένους· διὸ ὡς στόμα θεῖόν σε, καὶ οὐρανίων μυστηρίων κήρυκα, καὶ τῶν παθῶν τοῦ Σωτῆρος μάρτυρα, τιμῶμεν βοῶντες· Ἀπαύστως πρέσβευε Ἅγιε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

www.tezaurliturgic.ro



Ἦχος γ΄.

Ὡς τοῦ σκεύους τῆς ἐκλογῆς, τῇ συγγενείᾳ σεμνυνόμενος, σκεῦος εὔχρηστον πρὸς ὑπουργίαν θείαν, καὶ ἀποστολὴν σωτήριον, τοῖς ἔθνεσι πέφηνας, Ἡρωδίων Ἀπόστολε ἔνδοξε· τῆς γὰρ δόξης τοῦ Χριστοῦ, τοῦ μέχρι σαρκὸς πτωχεύσαντος, τὸν πλοῦτον πᾶσιν ἐκήρυξας, τῆς νοητῆς πενίας ἀφιστῶν, τοὺς λιμώττοντας τοῖς πάθεσι· καὶ τῶν ἀρρήτων τὴν γνῶσιν καταγγείλας τοῖς θαύμασιν, ἠθῶν ἀμέμπτων εἰκόνα, τῷ βίῳ διέγραψας, τοῖς πιστῶς δεξαμένοις σε. Καὶ νῦν Χριστὸν ἱκέτευε, σώζεσθαι τοὺς σὲ μακαρίζοντας.

Ἦχος δ΄.

Ἀποστολικὴν πορείαν διαδραμών, τῆς σωτηρίας τὰ διδάγματα, πᾶσι διέσπειρας, ὡς τοῦ Πνεύματος ὄργανον, Ἡρωδίων Ἀπόστολε· καὶ ἐν Νέαις Πάτραις γεγονώς, ἐκ ριζῶν τὴν πλάνην ἀνέσπασας, καὶ θεογνωσίαν ἐφύτευσας, ἐν λογικαῖς ἀρούραις, ὡς σοφὸς οἰκονόμος ψυχῶν· καὶ ὡς θῦμα τέλειον, καὶ προσφορὰ ἁγία Χριστῷ προσήχθης, μαρτυρικῶς τελειούμενος, καὶ ἱλασμὸν ἡμῖν αἰτούμενος, τοῖς τελοῦσι τὴν μνήμην σου.

Δόξα. Ὁ αὐτός.

Τὴν δοθεῖσάν σοι χάριν ἄνωθεν, μαρτυρικῷ αἵματι ἐδόξασας, ὡς νομίμως ἀθλήσας, Ἱερομάρτυς Ἀπόστολε· τοῦ γὰρ Σωτῆρος τὸν θάνατον, καλῶς ἐμιμήσω, ὡς τοῖς ἴχνεσιν αὐτοῦ ἀκολουθήσας, ἐν τῇ ἀπαρνήσει τῆς σαρκός· καὶ νῦν τῆς δόξης αὐτοῦ, σὺν Ἀποστόλοις μετέχων, καὶ σὺν Μάρτυσι δοξαζόμενος, σὺν αὐτοῖς ἱκέτευε, Ἡρωδίων μακάριε, ὑπὲρ τῶν ψυχῶν ὑμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων...

Εἰς τὸν Στίχον Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις ὁ Μαθητὴς τοῦ Χριστοῦ, τῶν Ἑβδομήκοντα ὁ θεῖος συνάριθμος, Ἀπόστολε Ἡρωδίων, τοῦ σκεύους τῆς ἐκλογῆς, μιμητὴς ἐν πᾶσι καὶ ὁμόζηλος· ὁ λόγων λαμπρότητι, καὶ θαυμάτων δυνάμεσι, Χριστοῦ κηρύξας, τὴν ἀπόρρητον κένωσιν, ἐν τοῖς ἔθνεσι, Παρακλήτου τῇ χάριτι· ὅθεν πολλοὺς ἐπιστρέψας, ἐκ πλάνης πρὸς Κύριον, αὐτῷ λατρεύειν ἀμέμπτως, βίου καὶ τρόπων χρηστότητι· Ὃν νῦν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

www.tezaurliturgic.ro



Στίχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ...

Χαίροις ὁ τῆς Ὑπάτης φωστήρ, καὶ πολιοῦχος καὶ ποιμὴν καὶ διδάσκαλος, Ἀπόστολε Ἡρωδίων, μύστα Χριστοῦ ἱερέ· ἐν αὐτῇ γὰρ πρῶτος ἀνεκήρυξας, τὸν λόγον τῆς πίστεως, καὶ ζωὴν τὴν αἰώνιον, φανερωθεῖσαν, ἐν σαρκὸς ὁμοιώματι, καὶ τὸν ἄνθρωπον, τῆς φθορᾶς ἀφαρπάσασα· ὅθεν μυρίων πρόξενος, καλῶν ὤφθης ἔνδοξε, τῇ σοὶ λαχούσῃ μερίδι, τῇ ἐπιπνοίᾳ τοῦ κρείττονος· καὶ νῦν ταύτῃ δίδου, τὴν θερμήν σου προστασίαν, ὡς συμπαθέστατος.

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ...

Αἴγλῃ λελαμπρυσμένος σοφέ, τοῦ Παρακλήτου ὡς Ἀπόστολος ἔνθεος, ὡς ὄρθρος πᾶσι προφαίνεις, τοῖς ἐν νυκτὶ τῶν παθῶν, τῆς δικαιοσύνης φῶς τὸ ἄδυτον· καὶ Φθίαν κατέλαβες, Ἡρωδίων μακάριε, Νέων Πατρῶν δέ, ὁδηγὸς πρὸς ἐπίγνωσιν, θείαν πέφηνας, σωτηρίῳ κηρύγματι· ὅθεν πόνοις ἀθλήσεως, δοξάσας τὸν Κύριον, ἀντεδοξάσθης ἀξίως, παρὰ τοῦ σὲ θαυμαστώσαντος· Ὃν νῦν ἐκδυσώπει, τοῦ διδόναι τῇ σῇ ποίμνῃ, τὸ θεῖον ἔλεος.

Δόξα. Ἦχος πλ. δ΄.

Ὡς Ἀπόστολος Χριστοῦ, καὶ Ἀθλητὴς ἐν Μάρτυσι, διπλῶν βραβείων ἠξίωσαι, Ἱερομάρτυς Ἀπόστολε· γεωργῶν γὰρ τὰ κρείττονα, καὶ οἰκείῳ ὑποδείγματι ἐκφαίνων, τὴν ἐν Χριστῷ γενομένην λύτρωσιν, ὡς θυσία καθαρά, προσηνέχθης Κυρίῳ χερσὶν ἀνόμων τελειωθείς, Ἡρωδίων παμμακάριστε. Καὶ νῦν τοῦ ξύλου τῆς ζωῆς, ἀμέσως ἀπολαύων, ἀπαύστως ἱκέτευε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου...

Νῦν ἀπολύεις, τὸ τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τῆς Ὑπάτης φωστῆρα καὶ ποιμένα θεόληπτον, τοῦ Παρακλήτου σε χάρις, Ἡρωδίων ἀνέδειξεν· ἐν ταύτῃ γὰρ Ἀπόστολε τὸ φῶς, ἐκήρυξας τὸ θεῖον τοῦ Χριστοῦ, καὶ ὡδήγησας πρὸς πίστιν τὴν ἀληθῆ, τοὺς εὐσεβῶς βοῶντάς σοι· δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ χορηγοῦντι διὰ σοῦ, ἡμῖν τὰ κρείττονα.

www.tezaurliturgic.ro



Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ χαῖρε...

Ἀπόλυσις.

Εἰς τὸν Ὄρθρον.

Μετὰ τὴν α΄. Στιχολογίαν, Κάθισμα.

Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.

Ὡς ἥλιος λαμπρός, ὡς πολύφωτον ἄστρον, κινούμενος σοφέ, θεϊκῇ ἐπινεύσει, ἐν Νέαις Πάτραις ἔλαμψας, καὶ τὸν ζόφον διέλυσας, θείᾳ χάριτι, τῆς χαλεπῆς ἁμαρτίας, πᾶσιν ἄφεσιν, τὴν ἐν Χριστῷ Ἡρωδίων, κηρύττων Ἀπόστολε.

Θεοτοκίον.

Θεὸν ὑπερφυῶς, σωματώσασα Κόρη, καὶ μείνασα Ἁγνή, μετὰ τόκον τὸν θεῖον, τὴν φύσιν τοῦ Προπάτορος, τὴν πεσοῦσαν ἀνύψωσας, καὶ ἐθέωσας, ἐν μετοχῇ ἀπορήτῳ. Ὅθεν Δέσποινα, ὡς ἀπαρχὴν σωτηρίας, ἀπαύστως ὑμνοῦμέν σε.

Μετὰ τὴν β΄. Στιχολογίαν, Κάθισμα.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Τοῦ Παύλου ὁμότροπος, ὡς συγγενὴς εὐκλεής, ἐδείχθης Ἀπόστολε, ὡς τῇ ἀγάπῃ Χριστοῦ, τρωθεὶς τὴν διάνοιαν· ὅθεν τῆς εὐσεβείας, πρακτικὸς ὑποφήτης, ὤφθης ἐν Νέαις Πάτραις, νεουργήσας καρδίας, ἐκ πλάνης καὶ κακίας, πρὸς θείαν ἐπίγνωσιν.

Θεοτοκίον.

Τεκοῦσα ἐν σώματι, δίχα τροπῆς καὶ φυρμοῦ, Θεὸν τὸν ἀσώματον, δι᾽ εὐσπλαγχνίαν πολλήν, τὰ πάλαι πεπλήρωκας, ἅπερ Πνεύματι θείῳ, προκατεῖδον Προφῆται, λύσασα τὴν ἀρχαίαν, τοῦ Ἀδὰμ ἁμαρτίαν· διό σε Θεοτόκε, πιστῶς ἀεὶ μεγαλύνομεν.

www.tezaurliturgic.ro



Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Ἀρωγὸν καὶ προστάτην καὶ ἀντιλήπτορα, οἷα θεμέλιον λίθον τῆς Ἐκκλησίας αὐτῆς, ἡ Ὑπάτη εὐλαβῶς ἀνακηρύττει σε, ὁδηγηθεῖσα ὑπὸ σοῦ, πρὸς ἐπίγνωσιν Χριστοῦ, Ἀπόστολε Ἡρῳδίων· διὸ καὶ πόθῳ γεραίρει, τὴν ἱερὰν καὶ θείαν μνήμην σου.

Θεοτοκίον.

Ἀειπάρθενε Κόρη θεοχαρίτωτε, ἡ τὸν Θεὸν τῶν ἁπάντων σαρκὶ κυήσασα, τῆς σαρκός μου τὰ δεινὰ πάθη θεράπευσον, καὶ μετανοίας τῷ φωτί, λάμπρυνόν μου τὴν ψυχήν, τοῖς πάθεσι σκοτισθεῖσαν, ἵνα βαδίζω τὴν τρίβον, τὴν πρὸς ζωὴν ἄγουσα ἄληκτον.

Τὸ α΄ ἀντίφωνον τοῦ δ΄. ἤχου καὶ τὸ Προκείμενον.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ...

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ...

Εὐαγγέλιον κατὰ Λουκᾶν.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει...

Ζήτει τῇ η΄ Νοεμβρίου.

Ὁ Ν΄. Δόξα. Ταῖς τοῦ Ἀποστόλου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...

Τοῦ Παρακλήτου τὸ φῶς, ἐν τῇ καρδίᾳ δεξάμενος, τοῖς Ἀποστόλοις συναρίθμιος ὤφθης, Ἡρῳδίων μακάριε· καὶ Ἀποστολικὴν ἀνύσας πορείαν, μαρτυρικὸν ἀγῶνα διήθλησας, ὑπὲρ τῆς δόξης τοῦ Διδασκάλου Χρισοῦ· οὗ τῷ θρόνῳ παρεστώς, σὺν νοεροῖς λειτουργοῖς, ἀπαύστως ἱκέτευε, ὑπὲρ τῶν τιμώντων σε.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Εἶτα οἱ κανόνες, τῆς Θεοτόκου καὶ τοῦ Ἁγίου φέρων τήνδε ἀκροστιχίδα.

www.tezaurliturgic.ro



«Τῷ Ἡρῳδίωνι ᾆσμα πόθῳ πλέκω. Γερασίμου».

Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Τριάδος τὴν ἔλλαμψιν, λαμπρῶς δεχόμενος Ἅγιε, φῶς θεῖον παράσχου μοι, ταῖς ἱκεσίαις σου, ἵνα μέλψω σου, τοὺς δρόμους Ἡρῳδίων, οὓς ὑπὲρ τῆς πίστεως, Χριστοῦ διήνυσας.

Ὡς θεῖος συνάριθμος, τῶν Ἑβδομήκοντα Ἅγιε, Μυστῶν τοῦ Θεοῦ ἡμῶν, καὶ ἰσοστάσιος, πλήρης γέγονας, σοφίας τῆς ἐνθέου, ἐκ θείου πληρώματος, Χριστοῦ Ἀπόστολε.

Ἡ χάρις Ἀπόστολε, τοῦ Παρακλήτου φοιτήσασα, τῷ θείῳ σου στόματι, ῥήτορα ἔνθεον, σὲ ἀνέδειξε, θεόφρον Ἡρῳδίων· πᾶσι γὰρ ἐκήρυξας, Χριστοῦ τὴν σάρκωσιν.

Θεοτοκίον.

Ῥυσθῆναι τῆς χείρονος, ἐπιβουλῆς καὶ κακώσεως, ἐχθροῦ τοῦ ἀλάστορος, δίδου μοι δύναμιν· σὺ γὰρ Ἄχραντε, ἐλπίς μοι σωτηρίας· καὶ σῶσόν με δέομαι, τῇ ἀντιλήψει σου.

Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους

Ὡς ἄστρον πολύφωτον ἐπέστης, τῆς δόξης τὸν Ἥλιον Χριστόν, ἐν Νέαις Πάτραις ἔνδοξε, κηρύττων θείῳ στόματι, καὶ πλάνην τὴν σκοτόμαιναν, διασκεδάζων Ἀπόστολε.

Δυνάμει ἣν ἔλαβες θεόθεν, ῥωσθεὶς τῆς σαρκὸς τὸ ἀσθενές, ἐξῆλθες ἐν τοῖς ἔθνεσι, καὶ σωτηρίαν ἅπασιν, εὐηγγελίσω Ἅγιε, τοῖς τῇ ἀπάτῃ δουλεύουσι.

Ἰλύος παθῶν ψυχὰς καθαίρων, καὶ νόσους ἰώμενος δεινάς, καὶ πονηρίας πνεύματα, ἐλαύνων θείῳ Πνεύματι, ὦ Ἡρῳδίων ἔνδοξε, Χριστὸν κηρύττεις τοῖς ἅπασι.

Θεοτοκίον.

Ὡς θρόνος πυρίμορφος βαστάζεις, τὸν πάντα βαστάζοντα δρακί, Χριστὸν τὸν Ὑπεράγαθον, Ὑπεραγία Δέσποινα· διὸ ἀπὸ κοπρίας με, παθῶν ἐξέγειρον δέομαι.

www.tezaurliturgic.ro



Κάθισμα. Ἦχος πλ. δ΄. τὴν Σοφίαν καὶ λόγον.

Συγγενὴς ὢν τοῦ Παύλου καὶ μιμητής, ὡς τοῦ πάντων Δεσπόζοντος Μαθητής, τούτῳ ἐκοινώνησας, καὶ τοῦ ζήλου Ἀπόστολε, καὶ πειρασμοὺς ὑπέστης, καὶ θλίψεις καὶ θάνατον, ὡς ἂν πολλοὺς προσάξῃς, Χριστῷ διὰ πίστεως· ὅθεν ἐπαξίως, οὐρανίων βραβείων, καὶ δόξης τῆς κρείττονος, κοινωνὸς ἀναδέδειξαι, Ἡρῳδίων πανεύφημε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Θεοτοκίον.

Τὸν Σωτῆρα τοῦ κόσμου καὶ Λυτρωτήν, τετοκυῖα ἀφράστως Μῆτερ Ἁγνή, Χριστὸν τὸν Θεὸν ἡμῶν, διὰ σπλάγχνα χρηστότητος, μορφὴν τὴν ἀνθρωπίνην, λαβόντα καὶ σώσαντα, Ἀδὰμ τὸν πεπτωκότα, ἀπάτῃ τοῦ ὄφεως, ὤφθης πλατυτέρα, οὐρανῶν Θεοτόκε, καὶ πάσης τῆς κτίσεως, ὑπερέχουσα Ἄχραντε, ὡς Ἀγγέλων βασίλισσα· διὸ τὰ μεγαλεῖα τὰ σά, ἀνυμνοῦντες χαῖρέ σοι κραυγάζομεν, προστασία τοῦ κόσμου, καὶ πάντων ἀνάπλασις.

Ὠδὴ δ΄. Τὴν ἀνεξιχνίαστον.

Νόμον τὸν τῆς χάριτος διατρανῶν, πᾶσιν Ἡρῳδίων Ἀπόστολε, τῆς ἀνομίας, ἐλυτρώσω τοὺς λαούς, τοὺς δεξαμένους Ἅγιε, πίστει τὸ σωτήριον κήρυγμα.

Ἴασιν καὶ λύτρωσιν καὶ φωτισμόν, καὶ υἱοθεσίαν οὐράνιον, κομίζων ὤφθης, ὡς Ἀπόστολος Χριστοῦ, τοῖς ἐν ταῖς Νέαις Ἅγιε, Πάτραις ἐνοικοῦσιν ἐν Πνεύματι.

Ἄφθονον πηγάζων ἀπὸ τῶν σῶν, ἱερῶν χειλέων Ἀπόστολε, λόγον καὶ χάριν, ὥσπερ θεῖον γλυκασμόν, τὸν τοῦ ἐχθροῦ ψυχόλεθρον, ἰὸν Ἡρῳδίων κατέκλυσας.

Σκέπῃ σου προστρέχουσα τῇ ἱερᾷ, Ὑπάτης ἡ πόλις κραυγάζει σοι, ἀπὸ μυχίων, Ἡρῳδίων θαυμαστέ· Σύ σου ἰσχὺς Ἀπόστολε, καὶ πρὸς τὸν Θεὸν πρέσβυς ἄγρυπνος.

Θεοτοκίον.

Μῆτερ Ἀειπάρθενε τοῦ Λυτρωτοῦ, Κεχαριτωμένη Παντάνασσα, τῆς τοῦ Βελίαρ, ἐπηρείας χαλεπῆς, ἀπάλλαξόν με δέομαι, φόβῳ με τῷ θείῳ τειχίζουσα.

www.tezaurliturgic.ro



Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Ἀθλήσεως σκάμμασι, τὸ ἱερόν σου κήρυγμα, πᾶσιν Ἡρωδίων βεβαιώσας, Χριστοῦ τὸ πάθος χαίρων εἰκόνισας, καὶ διὰ θανάτου πρὸς ζωήν, ἤρθης τὴν αἰώνιον, θεοκῆρυξ Ἀπόστολε.

Πληγαῖς προσωμίλησας, καὶ ἀλγηδόσιν Ἅγιε, τῇ τῶν δυσσεβούντων ἀπηνείᾳ, καὶ τὴν κακίαν ἐχθροῦ ἐπλήγωσας, τῇ ὑπομονῇ σου τῇ στερρᾷ, Ἡρωδίων ἔνδοξε διὰ τοῦτο δεδόξασαι.

Ὁ θεῖος Ἀπόστολος, ὁ συμπληρῶν τὸ πρότερον, τὴν τῶν Ἑβδομήκοντα χορείαν, ὕστερον ὤφθη ποιμὴν καὶ πρόεδρος, πρώτιστος τῶν Νέων τε Πατρῶν, τοῦ Χριστοῦ τῇ χάριτι, Ἡρωδίων ὁ πάνσοφος.

Θεοτοκίον.

Θεοῦ καθαρώτατον, ἐδείχθης ἐνδιαίτημα, Κεχαριτωμένη Θεοτόκε, τοῦτον χωρήσασα ἐν νηδύϊ σου, καὶ προαγοῦσα τοῖς ἐν γῇ, σώζοντα Πανάμωμε, τοὺς πιστῶς σε δοξάζοντας.

Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.

Ὡς Ἱεράρχην σε πρώτιστον, καὶ κήρυκα τοῦ λόγου τῆς χάριτος, ᾠδαῖς καὶ ᾄσμασιν, ἡ ἐν Ὑπάτῃ Ἀπόστολε, γεραίρει Ἐκκλησία, Χριστὸν δοξάζουσα.

Παθῶν ἀπήλλαξας Ἅγιε, τοὺς πίστει δεξαμένους τὸν λόγον σου, ψυχῆς καὶ σώματος, τῇ δεδομένῃ σοι χάριτι, θεόφρον Ἡρωδίων, ἐκ θείου Πνεύματος.

Λυχνία ὤφθης πολύφωτος, τὸ φῶς Εὐαγγελίου τῆς χάριτος, σοφῶς ἐκλάμπουσα, ἐν Νέαις Πάτραις Ἀπόστολε· διό σε Ἡρωδίων, πάντες γεραίρομεν.

Θεοτοκίον.

Ἐκ σοῦ τῆς δόξης ὁ Ἥλιος, ἀνέτειλε σαρκὸς ὁμοιώματι, θεοχαρίτωτε, οὗ ταῖς ἀκτῖσι διάλυσον, νοός μου τὴν σκοτίαν, Παρθένε Ἄχραντε.

Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ἐν Ὑπάτῃ πρώτιστος Χριστὸν κηρύξας, Ἡρωδίων ἔνδοξε, φωταγωγεῖς τοὺς ἐν νυκτί, τῆς ἀγνωσίας ὑπάρχοντας· διό σε πάντες τιμῶμεν Ἀπόστολε.

www.tezaurliturgic.ro



## Ὁ Οἶκος.

Τῶν Ἑβδομήκοντα Χριστοῦ, Ἁγίων Ἀποστόλων, εἷς πέλων ὡς Θεοῦ, θεράπων θεοφόρος, καὶ τοῦ Παύλου συγγενής, ὡς οὗτος μαρτυρεῖ, τὴν πυρίπνοον χάριν τοῦ Παρακλήτου, ἐδέξω ἐν τῇ ψυχῇ σου, Ἡρωδίων Ἀπόστολε θεηγόρε· καὶ τὴν πανοπλίαν τοῦ φωτὸς ἐνδεδυμένος, ἐξῆλθες κηρύττων τοῖς ἔθνεσι, τὴν τοῦ Χριστοῦ ἀπόρρητον κένωσιν, καὶ τὴν ἐξ αὐτῆς ἐλευθερίαν καὶ λύτρωσιν καὶ ἁγιασμὸν, τοῖς δεδουλωμένοις τῷ παναλαίστορι ἐχθρῷ· καὶ ἐν Νέαις Πάτραις γεγονώς, τὸν λόγον τῆς πίστεως διέσπειρας, καὶ μαρτυρικῶς Χριστῷ ἀνελήλυθας, καλῶς τελέσας τὸν δρόμον σου· διό σε πάντες τιμῶμεν Ἀπόστολε.

## Συναξάριον.

Τῇ η΄. τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ἁγίου ἐνδόξου καὶ πανευφήμου Ἀποστόλου Ἡρωδίωνος, ἑνὸς ἐκ τῶν Ἑβδομήκοντα, Ἐπισκόπου Νέων Πατρῶν (Ὑπάτης).

Στίχ. Νέαις Πάτραις ἔλαμψε φῶς εὐσεβείας.

Ἡρωδίων κράτιστος Πνεύματι θείῳ.

Ὀγδοάτῃ Ἡρωδίωνος ἔνθεν θυμὸς Θεῷ ἤρθη.

Οὗτος ὁ μακάριος εἷς ὢν τῶν Ἑβδομήκοντα Ἀποστόλων, καὶ συγγενὴς τυγχάνων τοῦ Ἀποστόλου τῶν ἐθνῶν Παύλου, οὗ μέμνηται ἐν τῇ πρὸς Ρωμαίους ἐπιστολῇ (κεφ. ιστ΄. 11), τοῖς Ἁγίοις Ἀποστόλοις διηκόνει ἅπασι. Μετὰ δὲ ταῦτα χειροτονεῖται πρεσβύτερος, εἶτα Ἐπίσκοπος Νέων Πατρῶν, ἔνθα πρῶτος Χριστὸν ἐκήρυξε. Πολλοὺς δὲ τῶν Ἑλλήνων διδάσκων καὶ ἐπιστρέφων πρὸς τὴν τοῦ Χριστοῦ πίστιν, φθονηθεὶς ὑπὸ τῶν Ἰουδαίων, ὑπέστη πολλά· ἐπιστάντες γὰρ μετὰ τῶν εἰδωλολατρῶν, πρῶτον μὲν ἔτυψαν αὐτὸν ἰσχυρῶς, καὶ λίθοις τὸ στόμα αὐτοῦ συνέτριψαν. Εἶτα ξύλοις κρουσθεὶς ὑπ' αὐτῶν κατὰ κεφαλῆς, μαχαίρᾳ κατασφάττεται· καὶ οὕτως ἐτελειώθη αὐτοῦ ἡ μαρτυρία.

Ταῖς αὐτοῦ πρεσβείαις Χριστὲ ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

## Ὠδὴ ζ΄. Ὁ διασώσας ἐν πυρί.

Κεκοσμημένος ἀρεταῖς, οἷά περ Ἀπόστολος θεῖος, τῶν Χριστοκτόνων τὴν δεινήν, Ἡρωδίων μανίαν ὑπέμεινας, καὶ ὑφ' ὧν θανατούμενος, πρὸς ζωὴν τὴν ἀτελεύτητον χαίρων ἤρθης.

www.tezaurliturgic.ro



Ως τοῦ Σωτῆρος μιμητήν, παίοντες καὶ κρούοντες ξύλοις, τῶν θεοκτόνων ὁ ἐσμός, Ἡρωδίων ἀπηνῶς θανατοῦσί σε, ἀλλὰ χαίρων ἀνέδραμες, πρς ζωὴν τὴν ὑπερκόσμιον νικηφόρος.

Γνῶσιν ἐκλάμπων θεϊκήν, τοὺς ἐν ἀγνωσίᾳ κειμένους, πρὸς φῶς ἐγείρεις θαυμαστόν, Ἡρωδίων τῆς Χριστοῦ ἐπιγνώσεως, καὶ κραυγάζειν ἐδίδαξας· ὁ Θεὸς τῶν Πατέρων εὐλογητὸς εἶ.

Θεοτοκίον.

Ἐκ τῆς ἀχράντου σου γαστρός, σάρκα προσλαβὼν ἀπορρήτως, ὁ Ὑπερούσιος Θεός, οὐσιώθη τὸ ἡμέτερον Ἄχραντε, καὶ τὸν κόσμον διέσωσε, τῆς ἀρχαίας καταδίκης τῆς ἐκ τοῦ ξύλου.

Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.

Ῥείθροις τῶν ἐνθέων διδαχῶν σου, καὶ λύθρῳ τῶν σῶν αἱμάτων παναοίδιμε, ἅπασαν ἡγίασας, καὶ πλουσίως ἤρδευσας, καὶ καρποφόρον ἔδειξας καρποῖς τῆς πίστεως, Πατρῶν ὦ Ἡρωδίων τὴν χθόνα, μυστικῶς τῶν Νέων, ὑμνοῦσάν σε θεόφρον.

Ἄνωθεν μὴ παύσῃ ἐποπτεύων, Κυρίῳ ὦ Ἡρωδίων παριστάμενος, ἥνπερ πόνοις ἵδρυσας, καὶ Χριστῷ ὡδήγησας, λόγοις ὁμοῦ καὶ πράξεσι καὶ θείοις θαύμασι, Πατρῶν τὴν Ἐκκλησίαν τῶν Νέων, πρὸς σὲ ἀφορῶσαν, ὡς ἐκλεκτὸν ποιμένα.

Σύσκηνος τελῶν τοῖς Ἀποστόλοις, καὶ Παύλῳ τῷ ἱερῷ διακονούμενος, μυστηρίων μέτοχος, οὐρανίων γέγονας, καὶ ἔνθεος διάκονος καὶ ὑπηρέτης σοφός, Χριστοῦ τῆς ἐν σαρκὶ παρουσίας, δι' ἧς Ἡρωδίων, ὁ κόσμος ἀνεπλάσθη.

Θεοτοκίον.

Ἴασαι ψυχήν μου τὴν νοσοῦσαν, καὶ σύντριψον τὸν ἐχθρὸν τὸν πολεμοῦντά με, καὶ τὸν νοῦν μου κάθαρον, ἐκ πάσης φαυλότητος, καὶ ῥυπαρίας Ἄχραντε χαμαιπετῶν λογισμῶν· πρὸς σὲ γὰρ προστρέχω, καὶ τὴν σωστικήν σου, αἰτοῦμαι προστασίαν.

Ὠδὴ θ΄. Ἅπας γηγενής.

Μύστης ἀληθής, καὶ θεῖος Ἀπόστολος Χριστοῦ γενόμενος, Ἡρωδίων πάνσοφε, εὐηγγελίσω πᾶσι τοῖς ἔθνεσι, τὴν τούτου ὑπὲρ ἔννοιαν ἄφραστον κένωσιν, δι' ἧς πλούτου, θεϊκῆς χρηστότητος, ἐπληρώθη ἡ φύσις ἡ ἔκπτωτος.

www.tezaurliturgic.ro



Ολῳ τῷ φωτί, τῆς ἄνω λαμπρότητος περιχεόμενος, Ἡρωδίων ἔνδοξε, πάσης ἀνάγκης καὶ περιστάσεως, ἱκέτευε τοῦ ρύεσθαι ταύτην τὴν ποίμνην σου, ἣν μερίδα, ἐκλεκτὴν ἀνέδειξας, καὶ Χριστῷ σεσωσμένην προσήγαγες.

Υμνοις καὶ ᾠδαῖς, ἡ πόλις σου σήμερον Ὑπάτη μέλπει σε, πόθῳ ἑορτάζουσα, τὴν φωτοφόρον καὶ θείαν μνήμην σου, ἣν σκέπε καὶ διάσωζε ταῖς προστασίαις σου, Ἡρωδίων, πάσης περιστάσεως, ὡς ποιμὴν καὶ θερμὸς ἡμῶν ἔφορος.

Θεοτοκίον.

Υδωρ τῆς ζωῆς, ὡς κρήνη ζώῤῥυτος κόσμῳ ἐπήγασας, τὸν Χριστὸν κυήσασα, ζωοποιοῦντα τοὺς πρὶν τεθνήξαντας, ἀπάτῃ τῇ τοῦ ὄφεως, μόνη Πανύμνητε· διὸ Κόρη, τὴν ψυχήν μου ζώωσον, νεκρωθεῖσαν πολλοῖς ἁμαρτήμασι.

Ἐξαποστειλάριον. Ὁ οὐρανὸς τοῖς ἄστροις.

Διακονῶν Ἡρωδίων, τοῖς Ἀποστόλοις τοῦ Χριστοῦ, καὶ συγγενὴς ὢν τοῦ Παύλου, καὶ τῶν καμάτων μιμητής, μυσταγωγὸς θεῖος ὤφθης, τῆς ἐν Χριστῷ σωτηρίας.

Θεοτοκίον.

Τὸν Ὑπερούσιον Λόγον, κυήσασα μετὰ σαρκός, ὃ ἦν μηδόλως τραπέντα, δι' ἀγαθότητα πολλήν, ἡμᾶς Παρθένε ἀνάγεις, ἐξ ἧς πεπτώκαμεν δόξης.

Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν στίχους δ'. καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος δ'. Ἔδωκας σημείωσιν.

Χάρις ἡ τοῦ Πνεύματος, ἐν τῇ ψυχῇ σου σκηνώσασα, Ἡρωδίων πανεύφημε, Ἀπόστολον θεῖόν σε, καὶ λαμπρὸν φωστῆρα, τῆς οἰκονομίας, τοῦ κενωθέντος δι' ἡμᾶς, δι' εὐσπλαγχνίας πέλαγος ἔδειξεν· ἐντεῦθεν διηκόνησας, καὶ ἱερῶς ἐλειτούργησας, τοῖς αὐτοῦ ἐπιτάγμασι, διανοίας θερμότητι.

Παῦλος ὁ θεσπέσιος, σὲ συγγενῆ μεμαρτύρηκεν, Ἡρωδίων Ἀπόστολε, θερμῶς ἀνακείμενον, ὁλικῇ καρδίᾳ, Χριστῷ τῷ Σωτῆρι, οὗ τὸν

www.tezaurliturgic.ro



Σταυρὸν φέρων σοφέ, ἀνακηρύττεις τὸ Εὐαγγέλιον, τῆς τούτου ἀγαθότητος, καὶ τῶν παθῶν τούτου μέτοχος, γεγονὼς συνδεδόξασαι, ἐν τῇ ἄνω λαμπρότητι.

Φθίαν ὡς κατέλαβες, θείῳ κινούμενος Πνεύματι, Ἡρωδίων μακάριε, τὸν λόγον τῆς χάριτος, ἅπασι κηρύττεις, καὶ ἐν Νέαις Πάτραις, ὡς παραγένου τῷ φωτί, τῆς εὐσεβείας πολλοῖς κατηύγασας, ὡς ἔνθεος Ἀπόστολος, καὶ μαρτυρίου τοῖς σκάμμασι, τὴν ἐν ταύταις ἐλάμπρυνας, Ἐκκλησίαν ὑμνοῦσάν σε.

Χαίρει ἑορτάζουσα, τὴν ἱεράν σου πανήγυριν, Ἡρωδίων Ἀπόστολε, Ὑπάτη ἡ πόλις σου· ταύτης γὰρ αἰτία, καὶ πρόξενος ὤφθης, τῶν ὑπὲρ λόγον ἀγαθῶν, Χριστοῦ κηρύξας τὴν ἀγαθότητα, καὶ ταύτης πρῶτος γέγονας, Ἀρχιερεὺς καὶ διδάσκαλος· ἣν καὶ νῦν περιφύλαττε, τῇ θερμῇ ἀντιλήψει σου.

Δόξα. Ἦχος πλ. α΄.

Τῷ φωτὶ τῶν λόγων σου, τῆς ἀλογίας ψυχὰς ἐξαίρων, τῷ Ὑπερθέῳ Λόγῳ Χριστῷ, ὡς ὀψώνιον προσάγεις, τοὺς πρὶν τῇ πλάνῃ δουλεύοντας· τῆς ἄνω γὰρ ἐλευθερίας, τὰ ἀγαθὰ προφαίνων, θεολήπτῳ ζωῇ, τέκνα φωτὸς εἰργάσω, καὶ σκεύη τίμια Θεῷ, οὓς ὁ ἐχθρὸς δολίως ὑπηγάγετο· καὶ σοφῶς ἱερουργῶν, τὸ Εὐαγγέλιον τῆς χάριτος, μαρτυρικῇ ἐνστάσει Χριστὸν δοξάζεις, καὶ οἰκείῳ αἵματι, τὴν Ἐκκλησίαν ποτίζεις. Ἀλλ' ὦ Ἀπόστολε Ἡρωδίων, τῷ Διδασκάλῳ καὶ Σωτῆρι πρέσβευε, ὑπὲρ τῶν τιμώντων σε.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε...

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν.

Τὰ τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ κανόνος τοῦ Ἁγίου ἡ γ΄. καὶ στ΄. ᾠδή. Ἀπόστολον πρὸς Ρωμαίους, οὗ τινος προτάσσομν τὸ ἑξῆς Προκείμενον.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ...

Στίχ. Οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ...

Ἀδελφοί, συνίσθημι ὑμῖν Φοίβην...

Ζήτει τῇ Παρασκευῇ τῆς ε΄ Ἑβδομάδος.

www.tezaurliturgic.ro



Εὐαγγέλιον κατὰ Ματθαῖον.

Εἶπε ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου...

Ζήτει τῇ ιη΄. Ἰανουαρίου.

Κοινωνικόν. Εἰς πᾶσαν τὴν γῆν...

Μεγαλυνάριον.

Χαίροις Ἡρωδίων μύστα Χριστοῦ, τοῦ Εὐαγγελίου, θεηγόρος μυσταγωγός· χαίροις τῆς Ὑπάτης, ποιμὴν καὶ πολιοῦχος, καὶ πρὸς Χριστὸν μεσίτης, ὁ ἑτοιμότατος.

Δίστιχον.

Ἡρωδίων πρόσδεξαι τοῦτον τὸν ὕμνον

Ὃν σοι Γεράσιμος ἀνέπλεξεν ἤδη.

www.tezaurliturgic.ro

# Κοντάκιον

«Ἐν Ὑπάτῃ πρώτιστος Χριστὸν κηρύξας,
Ἡρωδίων ἔνδοξε,
φωταγωγεῖς τοὺς ἐν νυκτί,
τῆς ἀγνωσίας ὑπάρχοντας·
διό σε πάντες τιμῶμεν Ἀπόστολε».